τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ ΕΗΒ	ΕΗΒ dış açısını
τῇ ἐντὸς καὶ ἀπεναντίον γωνίᾳ τῇ ὑπὸ ΗΘΔ	iç ve karşıt ΗΘΔ açısına
ἴσην ποιείτω	eşit yapsın,
ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη	veya iç ve aynı tarafta [kalan]
τὰς ὑπὸ ΒΗΘ, ΗΘΔ	ΒΗΘ ve ΗΘΔ açıları
δυσὶν ὀρθαῖς ἴσας·	iki dik açıya eşit.
λέγω, ὅτι	Diyorum ki
παράλληλός ἐστιν	paraleldir
ἡ ΑΒ τῇ ΓΔ.	ΑΒ, ΓΔ'ya.
Ἐπεὶ γὰρ ἴση ἐστὶν	Zira eşit olduğundan
ἡ ὑπὸ ΕΗΒ τῇ ὑπὸ ΗΘΔ,	ΕΗΒ, ΗΘΔ'ya,
ἀλλὰ ἡ ὑπὸ ΕΗΒ	ama ΕΗΒ,
τῇ ὑπὸ ΑΗΘ ἐστιν ἴση,	ΑΗΘ'ya eşit olduğundan,
καὶ ἡ ὑπὸ ΑΗΘ ἄρα	böylece ΑΗΘ da
τῇ ὑπὸ ΗΘΔ ἐστιν ἴση·	ΗΘΔ'ya eşittir;
καί εἰσιν ἐναλλάξ·	ve onlar terstir;
παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.	böylece ΑΒ, ΓΔ'ya paraleldir.
Πάλιν, ἐπεὶ αἱ ὑπὸ ΒΗΘ, ΗΘΔ	Yine ΒΗΘ ve ΗΘΔ,

δύο ὀρθαῖς ἴσαι εἰσίν,	iki dik açıya eşittir,
εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΑΗΘ, ΒΗΘ	ve ΑΗΘ ve ΒΗΘ de,
δυσὶν ὀρθαῖς ἴσαι,	iki dik açıya eşittir,
αἱ ἄρα ὑπὸ ΑΗΘ, ΒΗΘ	böylece ΑΗΘ ve ΒΗΘ,
ταῖς ὑπὸ ΒΗΘ, ΗΘΔ ἴσαι εἰσίν·	ΒΗΘ ve ΗΘΔ’ya eşittir;
κοινὴ	ve ortak olarak
ἀφῃρήσθω ἡ ὑπὸ ΒΗΘ·	ΒΗΘ, ayırılmış olsun;
λοιπὴ ἄρα ἡ ὑπὸ ΑΗΘ	böylece ΑΗΘ kalanı
λοιπῇ τῇ ὑπὸ ΗΘΔ ἐστιν ἴση·	ΗΘΔ kalanına eşittir;
καί εἰσιν ἐναλλάξ·	ve bunlar terstir;
παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.	böylece ΑΒ, ΓΔ’ya paraleldir.
Ἐὰν ἄρα εἰς δύο εὐθείας	Eğer böylece iki doğru üzerine
εὐθεῖα ἐμπίπτουσα	düşen bir doğru,
τὴν ἐκτὸς γωνίαν	dış açıyı,
τῇ ἐντὸς καὶ ἀπεναντίον	iç ve karşıt
καὶ ἐπὶ τὰ αὐτὰ μέρη	ve aynı tarafta kalan açıya
ἴσην ποιῇ	eşit yaparsa,
ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη	veya iç ve aynı tarafta kalanları,
δυσὶν ὀρθαῖς ἴσας,	iki dik açıya eşit,
παράλληλοι ἔσονται	birbirine paralel olacak
αἱ εὐθεῖαι·	doğrular;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



29. Önerme

Ἡ εἰς τὰς παραλλήλους εὐθείας εὐθεῖα ἐμπίπτουσα	Paralel doğrular üzerine düşen bir doğru
τάς τε ἐναλλὰξ γωνίας	hem ters açıları
ἴσας ἀλλήλαις ποιεῖ	birbirine eşit yapar,
καὶ τὴν ἐκτὸς	hem dış [açı]yı
τῇ ἐντὸς καὶ ἀπεναντίον ἴσην	iç ve karşıt [açı]ya eşit,
καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη	hem iç ve aynı taraftaki [açıları]
δυσὶν ὀρθαῖς ἴσας.	iki dik açıya eşit.
Εἰς γὰρ παραλλήλους εὐθείας τὰς ΑΒ, ΓΔ	Zira paralel ΑΒ ve ΓΔ doğruları üzerine
εὐθεῖα ἐμπιπτέτω ἡ ΕΖ·	ΕΖ doğrusu düşsün.
λέγω, ὅτι τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΑΗΘ, ΗΘΔ ἴσας ποιεῖ	Diyorum ki ters ΑΗΘ ve ΗΘΔ açıları eşit yapar,
καὶ τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ ΕΗΒ	ve ΕΗΒ dış açısını
τῇ ἐντὸς καὶ ἀπεναντίον	iç ve karşıt
τῇ ὑπὸ ΗΘΔ ἴσην	ΗΘΔ'ya eşit,
καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη	ve iç ve aynı taraftaki
τὰς ὑπὸ ΒΗΘ, ΗΘΔ	ΒΗΘ ile ΗΘΔ açılarını
δυσὶν ὀρθαῖς ἴσας.	iki dik açıya eşit.
Εἰ γὰρ ἄνισός ἐστιν	Zira eğer eşit değilse
ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΗΘΔ,	ΑΗΘ, ΗΘΔ açısına,
μία αὐτῶν μείζων ἐστίν.	biri büyüktür.
ἔστω μείζων ἡ ὑπὸ ΑΗΘ·	ΑΗΘ daha büyük olsun;
κοινὴ προσκείσθω ἡ ὑπὸ ΒΗΘ·	ortak olarak ΒΗΘ eklenmiş olsun;
αἱ ἄρα ὑπὸ ΑΗΘ, ΒΗΘ	böylece ΑΗΘ ve ΒΗΘ,
τῶν ὑπὸ ΒΗΘ, ΗΘΔ μείζονές εἰσιν.	ΒΗΘ ve ΗΘΔ'dan büyüktür.
ἀλλὰ αἱ ὑπὸ ΑΗΘ, ΒΗΘ	Ama ΑΗΘ ve ΒΗΘ
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.	iki dik açıya eşittir.
[καὶ] αἱ ἄρα ὑπὸ ΒΗΘ, ΗΘΔ	Böylece ΒΗΘ ve ΗΘΔ [da]
δύο ὀρθῶν ἐλάσσονές εἰσιν.	iki dik açıdan küçüktür.
αἱ δὲ ἀπ᾽ ἐλασσόνων ἢ δύο ὀρθῶν	Ve iki dik açıdan küçük [açılar]dan
ἐκβαλλόμεναι εἰς ἄπειρον	sonsuza uzatılan [doğrular],

συμπίπτουσιν·	çarpışır.
αἱ ἄρα ΑΒ, ΓΔ	Böylece ΑΒ ve ΓΔ,
ἐκβαλλόμεναι εἰς ἄπειρον	uzatılınca sonsuza,
συμπεσοῦνται·	çarpışır.
οὐ συμπίπτουσι δὲ	Ama çarpışmaz,
διὰ τὸ παραλλήλους αὐτὰς	çünkü paralel
ὑποκεῖσθαι·	kabul edilir.
οὐκ ἄρα ἄνισός ἐστιν	Böylece eşit değil değildir
ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΗΘΔ·	ΑΗΘ, ΗΘΔ'ya.
ἴση ἄρα.	Böylece eşittir.
ἀλλὰ ἡ ὑπὸ ΑΗΘ	Ama ΑΗΘ,
τῇ ὑπὸ ΕΗΒ ἐστιν ἴση·	ΕΗΒ açısına eşittir;
καὶ ἡ ὑπὸ ΕΗΒ ἄρα	böylece ΕΗΒ da
τῇ ὑπὸ ΗΘΔ ἐστιν ἴση·	ΗΘΔ açısına eşittir;
κοινὴ προσκείσθω ἡ ὑπὸ ΒΗΘ·	ortak olarak ΒΗΘ eklenmiş olsun;
αἱ ἄρα ὑπὸ ΕΗΒ, ΒΗΘ	böylece ΕΗΒ ve ΒΗΘ,
ταῖς ὑπὸ ΒΗΘ, ΗΘΔ ἴσαι εἰσίν.	ΒΗΘ ve ΗΘΔ'ya eşittir.
ἀλλὰ αἱ ὑπὸ ΕΗΒ, ΒΗΘ	Ama ΕΗΒ ve ΒΗΘ
δύο ὀρθαῖς ἴσαι εἰσίν·	iki dik açıya eşittir.
καὶ αἱ ὑπὸ ΒΗΘ, ΗΘΔ ἄρα	Böylece ΒΗΘ ve ΗΘΔ da
δύο ὀρθαῖς ἴσαι εἰσίν.	iki dik açıya eşittir.

Ἡ ἄρα εἰς τὰς παραλλήλους εὐθείας εὐθεῖα ἐμπίπτουσα	Böylece paralel doğrular üzerine düşen bir doğru
τάς τε ἐναλλὰξ γωνίας	hem ters açıları
ἴσας ἀλλήλαις ποιεῖ	birbirine eşit yapar,
καὶ τὴν ἐκτὸς	hem dış [açı]yı
τῇ ἐντὸς καὶ ἀπεναντίον ἴσην	iç ve karşıt [açı]ya eşit,
καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη	hem iç ve aynı taraftaki [açıları]
δυσὶν ὀρθαῖς ἴσας·	iki dik açıya eşit;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



30. Önerme

Αἱ τῇ αὐτῇ εὐθείᾳ παράλληλοι	Aynı doğruya paraleller,
καὶ ἀλλήλαις εἰσὶ παράλληλοι.	birbirine de paraleldir.
Ἔστω	Olsun
ἑκατέρα τῶν ΑΒ, ΓΔ	ΑΒ ve ΓΔ’nın her biri,
τῇ ΕΖ παράλληλος·	ΕΖ’ya paralel.
λέγω, ὅτι	Diyorum ki
καὶ ἡ ΑΒ τῇ ΓΔ ἐστι παράλληλος.	ΑΒ da ΓΔ’ya paraleldir.
Ἐμπιπτέτω γὰρ	Zira düşsün
εἰς αὐτὰς εὐθεῖα ἡ ΗΚ.	üzerlerine ΗΚ.
καὶ ἐπεὶ εἰς παραλλήλους εὐθείας τὰς ΑΒ, ΕΖ	Ve paralel ΑΒ ve ΕΖ doğrularının üzerine
εὐθεῖα ἐμπέπτωκεν ἡ ΗΚ,	ΗΚ doğrusu düşmüş olduğundan,
ἴση ἄρα ἡ ὑπὸ ΑΗΚ τῇ ὑπὸ ΗΘΖ.	böylece ΑΗΚ, ΗΘΖ’ya eşittir.
πάλιν, ἐπεὶ εἰς παραλλήλους εὐθείας τὰς ΕΖ, ΓΔ	Yine, paralel ΕΖ ve ΓΔ doğrularının üzerine
εὐθεῖα ἐμπέπτωκεν ἡ ΗΚ,	ΗΚ doğrusu düşmüş olduğundan,
ἴση ἐστὶν ἡ ὑπὸ ΗΘΖ τῇ ὑπὸ ΗΚΔ.	ΗΘΖ, ΗΚΔ açısına eşittir.
ἐδείχθη δὲ καὶ	Ve gösterilmişti
ἡ ὑπὸ ΑΗΚ τῇ ὑπὸ ΗΘΖ ἴση.	ΑΗΚ, ΗΘΖ’ya eşit.
καὶ ἡ ὑπὸ ΑΗΚ ἄρα	Ve böylece ΑΗΚ,
τῇ ὑπὸ ΗΚΔ ἐστιν ἴση·	ΗΚΔ’ya eşittir;
καί εἰσιν ἐναλλάξ.	ve bunlar terstir.
παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.	Böylece ΑΒ, ΓΔ’ya paraleldir.
[Αἱ ἄρα τῇ αὐτῇ εὐθείᾳ παράλληλοι	Böylece aynı doğruya paraleller
καὶ ἀλλήλαις εἰσὶ παράλληλοι·]	birbirine de paraleldir;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.


Α
Η
Β
Θ
Ε
Ζ
Κ
Γ
Δ

31. Önerme

Διὰ τοῦ δοθέντος σημείου	Verilmiş bir noktadan
τῇ δοθείσῃ εὐθείᾳ παράλληλον	verilmiş bir doğruya paralel
εὐθεῖαν γραμμὴν ἀγαγεῖν.	bir doğru çizgi ilerlemek.

Ἔστω	Olsun
τὸ μὲν δοθὲν σημεῖον τὸ Α,	verilmiş nokta Α,
ἡ δὲ δοθεῖσα εὐθεῖα ἡ ΒΓ·	ve verilmiş doğru ΒΓ.

δεῖ δὴ	O halde gereklidir
διὰ τοῦ Α σημείου	Α noktasından
τῇ ΒΓ εὐθείᾳ παράλληλον	ΒΓ doğrusuna paralel
εὐθεῖαν γραμμὴν ἀγαγεῖν.	bir doğru çizgi ilerlemek.

Εἰλήφθω	alınmış olsun
ἐπὶ τῆς ΒΓ	ΒΓ üzerinde
τυχὸν σημεῖον τὸ Δ,	rastgele bir Δ noktası,
καὶ ἐπεζεύχθω ἡ ΑΔ·	ve ΑΔ birleştirilmiş olsun,
καὶ συνεστάτω	ve inşa edilmiş olsun,
πρὸς τῇ ΔΑ εὐθείᾳ	ΔΑ doğrusunda,
καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α	ve onun Α noktasında,
τῇ ὑπὸ ΑΔΓ γωνίᾳ ἴση	ΑΔΓ açısına eşit,
ἡ ὑπὸ ΔΑΕ·	ΔΑΕ;
καὶ ἐκβεβλήσθω	ve uzatılmış olsun,
ἐπ᾿ εὐθείας τῇ ΕΑ	ΕΑ ile aynı doğruda,
εὐθεῖα ἡ ΑΖ.	ΑΖ doğrusu.

καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς ΒΓ, ΕΖ	Ve ΒΓ ve ΕΖ doğruları üzerine
εὐθεῖα ἐμπίπτουσα ἡ ΑΔ	düşen ΑΔ doğrusu,
τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΕΑΔ, ΑΔΓ	ters ΕΑΔ ve ΑΔΓ açılarını
ἴσας ἀλλήλαις πεποίηκεν,	birbirine eşit yaptığından,
παράλληλος ἄρα ἐστὶν ἡ ΕΑΖ τῇ ΒΓ.	böylece ΕΑΖ, ΒΓ'ya paraleldir.

Διὰ τοῦ δοθέντος ἄρα σημείου τοῦ Α	Böylece, verilmiş Α noktasından,
τῇ δοθείσῃ εὐθείᾳ τῇ ΒΓ παράλληλος	verilmiş ΒΓ doğrusuna paralel,
εὐθεῖα γραμμὴ ἦκται ἡ ΕΑΖ·	doğru ΕΑΖ çizgisi, ilerletilmiş oldu;

ὅπερ ἔδει ποιῆσαι.

yapılması gereken tam buydu.



32. Önerme

Παντὸς τριγώνου	Herhangi bir üçgenin
μιᾶς τῶν πλευρῶν προσεκβληθείσης	kenarlarından biri uzatılınca,
ἡ ἐκτὸς γωνία	dış açı
δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον	iki karşıt iç açıya
ἴση ἐστίν,	eşittir,
καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι	ve üçgenin üç iç açısı
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.	
	iki dik açıya eşittir.
Ἔστω	Olsun
τρίγωνον τὸ ΑΒΓ,	üçgen ΑΒΓ,
καὶ προσεκβεβλήσθω	ve uzatılmış olsun
αὐτοῦ μία πλευρὰ ἡ ΒΓ ἐπὶ τὸ Δ·	onun ΒΓ kenarı, Δ noktasına.
λέγω, ὅτι	Diyorum ki
ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΓΔ ἴση ἐστὶ	ΑΓΔ dış açısı eşittir
δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον	iki iç ve karşıt
ταῖς ὑπὸ ΓΑΒ, ΑΒΓ,	ΓΑΒ ve ΑΒΓ açılarına,
καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι	ve üçgenin üç iç açısı
αἱ ὑπὸ ΑΒΓ, ΒΓΑ, ΓΑΒ	
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.	—ΑΒΓ, ΒΓΑ, ve ΓΑΒ—,
	iki dik açıya eşittir.
Ἤχθω γὰρ	Zira ilerletilmiş olsun
διὰ τοῦ Γ σημείου	Γ noktasından
τῇ ΑΒ εὐθείᾳ παράλληλος	ΑΒ doğrusuna paralel
ἡ ΓΕ.	ΓΕ.
καὶ ἐπεὶ παράλληλός ἐστιν	Ve paralel olduğundan
ἡ ΑΒ τῇ ΓΕ,	ΑΒ, ΓΕ'a,
καὶ εἰς αὐτὰς ἐμπέπτωκεν	ve bunların üzerine düştüğünden
ἡ ΑΓ,	ΑΓ,
αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΒΑΓ, ΑΓΕ	ters ΒΑΓ ve ΑΓΕ açıları
ἴσαι ἀλλήλαις εἰσίν.	birbirine eşittir.
πάλιν, ἐπεὶ παράλληλός ἐστιν	Yine, paralel olduğundan

ἡ ΑΒ τῇ ΓΕ,	ΑΒ, ΓΕ doğrusuna,
καὶ εἰς αὐτὰς ἐμπέπτωκεν	ve bunların üzerine düştüğünden
εὐθεῖα ἡ ΒΔ,	ΒΔ doğrusu,
ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΕΓΔ ἴση ἐστὶ	ΕΓΔ dış açısı eşittir
τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΑΒΓ.	iç ve karşıt ΑΒΓ açısına.
ἐδείχθη δὲ καὶ	Ve gösterilmişti
ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΒΑΓ ἴση·	ΑΓΕ da, ΒΑΓ açısına eşit.
ὅλη ἄρα ἡ ὑπὸ ΑΓΔ γωνία	Böylece bütün ΑΓΔ açısı
ἴση ἐστὶ	eşittir
δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον	iki iç ve karşıt
ταῖς ὑπὸ ΒΑΓ, ΑΒΓ.	ΒΑΓ ve ΑΒΓ açılarına.
Κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΓΒ·	Ortak olarak ΑΓΒ eklensin;
αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΓΒ	böylece ΑΓΔ ve ΑΓΒ açıları
τρισὶ ταῖς ὑπὸ ΑΒΓ, ΒΓΑ, ΓΑΒ	ΑΒΓ, ΒΓΑ ve ΓΑΒ üçlüsüne
ἴσαι εἰσίν.	eşittir.
ἀλλ᾽ αἱ ὑπὸ ΑΓΔ, ΑΓΒ	Ama ΑΓΔ ve ΑΓΒ,
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν·	iki dik açıya eşittir;
καὶ αἱ ὑπὸ ΑΓΒ, ΓΒΑ, ΓΑΒ ἄρα	böylece ΑΓΒ, ΓΒΑ ve ΓΑΒ da
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.	iki dik açıya eşittir.
Παντὸς ἄρα τριγώνου	Böylece, herhangi bir üçgenin
μιᾶς τῶν πλευρῶν προσεκβληθείσης	kenarlarından biri uzatılınca,
ἡ ἐκτὸς γωνία	dış açı
δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον	iki karşıt iç açıya
ἴση ἐστίν,	eşittir,
καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι	ve üçgenin üç iç açısı
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν·	iki dik açıya eşittir;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



33. Önerme

Αἱ τὰς ἴσας τε καὶ παραλλήλους
ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι
εὐθεῖαι καὶ αὐταὶ
ἴσαι τε καὶ παράλληλοί εἰσιν.

Eşit paralelleri
aynı tarafta birleştiren
doğruların kendileri de
hem eşit hem paraleldirler.

Ἔστωσαν
ἴσαι τε καὶ παράλληλοι
αἱ ΑΒ, ΓΔ,
καὶ ἐπιζευγνύτωσαν αὐτὰς
ἐπὶ τὰ αὐτὰ μέρη
εὐθεῖαι αἱ ΑΓ, ΒΔ·

Olsun
eşit paraleller
ΑΒ ve ΓΔ,
ve bunları birleştirsin
aynı tarafta
ΑΓ ve ΒΔ doğruları.

λέγω, ὅτι
καὶ αἱ ΑΓ, ΒΔ
ἴσαι τε καὶ παράλληλοί εἰσιν.

Diyorum ki
ΑΓ ve ΒΔ da
eşit ve paraleldir.

Ἐπεζεύχθω ἡ ΒΓ.
καὶ ἐπεὶ παράλληλός ἐστιν
ἡ ΑΒ τῇ ΓΔ,
καὶ εἰς αὐτὰς ἐμπέπτωκεν
ἡ ΒΓ,
αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΔ
ἴσαι ἀλλήλαις εἰσίν.
καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ
κοινὴ δὲ ἡ ΒΓ,
δύο δὴ αἱ ΑΒ, ΒΓ
δύο ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσίν·
καὶ γωνία ἡ ὑπὸ ΑΒΓ
γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση·
βάσις ἄρα ἡ ΑΓ
βάσει τῇ ΒΔ ἐστιν ἴση,
καὶ τὸ ΑΒΓ τρίγωνον
τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν,
καὶ αἱ λοιπαὶ γωνίαι
ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται

ΒΓ birleştirilmiş olsun.
Ve paralel olduğundan
ΑΒ, ΓΔ'ya,
ve bunların üzerine düştüğünden
ΒΓ,
ters ΑΒΓ ve ΒΓΔ açıları
birbirine eşittir.
Ve ΑΒ, ΓΔ'ya eşit olduğundan,
ve ΒΓ ortak [olduğundan],
ΑΒ ve ΒΓ ikilisi
ΒΓ ve ΓΔ ikilisine eşittir;
ΑΒΓ açısı da
ΒΓΔ açısına eşittir;
böylece ΑΓ tabanı
ΒΔ tabanına eşittir,
ve ΑΒΓ üçgeni
ΒΓΔ üçgenine eşittir,
ve kalan açılar
kalan açılara eşit olacak,

ἑκατέρα ἑκατέρᾳ,
ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν·
ἴση ἄρα
ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΓΒΔ.
καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς ΑΓ, ΒΔ
εὐθεῖα ἐμπίπτουσα ἡ ΒΓ
τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις
πεποίηκεν,
παράλληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΒΔ.
ἐδείχθη δὲ αὐτῇ καὶ ἴση.

her biri birine,
eşit kenarların raptettiği;
böylece eşittir
ΑΓΒ açısı, ΓΒΔ'ya.
Ve iki ΑΓ ve ΒΔ doğrularının üzerine
düşen ΒΓ doğrusu,
ters açıları birbirine eşit
yaptığından,
böylece ΑΓ, ΒΔ'ya paraleldir.
Ve ona eşit olduğu da gösterilmişti.

Αἱ ἄρα τὰς ἴσας τε καὶ παραλλήλους
ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι
εὐθεῖαι καὶ αὐταὶ
ἴσαι τε καὶ παράλληλοί εἰσιν·
ὅπερ ἔδει δεῖξαι.

Böylece eşit paralelleri
aynı tarafta birleştiren
doğruların kendileri de
hem eşit hem paraleldirler;
gösterilmesi gereken tam buydu.



34. Önerme

Τῶν παραλληλογράμμων χωρίων	Paralelkenar alanların
αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι	hem karşıt kenarları hem de açıları,
ἴσαι ἀλλήλαις εἰσίν,	birbirine eşittir,
καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει.	ve köşegen onları ikiye böler.



Ἔστω	Olsun
παραλληλόγραμμον χωρίον τὸ ΑΓΔΒ,	paralelkenar alan ΑΓΔΒ;
διάμετρος δὲ αὐτοῦ ἡ ΒΓ·	ve onun köşegeni, ΒΓ.
λέγω, ὅτι	Diyorum ki
τοῦ ΑΓΔΒ παραλληλογράμμου	ΑΓΔΒ paralelkenarının
αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι	karşıt kenarları ve açıları
ἴσαι ἀλλήλαις εἰσίν,	birbirine eşittir,
καὶ ἡ ΒΓ διάμετρος αὐτὸ δίχα τέμνει.	ve ΒΓ köşegeni onu ikiye böler.
Ἐπεὶ γὰρ παράλληλός ἐστιν	Zira paralel olduğundan
ἡ ΑΒ τῇ ΓΔ,	ΑΒ, ΓΔ'ya,
καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΒΓ,	ve bunların üzerine düşmüş olduğundan ΒΓ,
αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΔ	ters ΑΒΓ ve ΒΓΔ açıları
ἴσαι ἀλλήλαις εἰσίν.	birbirine eşittir.
πάλιν ἐπεὶ παράλληλός ἐστιν	Yine, paralel olduğundan
ἡ ΑΓ τῇ ΒΔ,	ΑΓ, ΒΔ'ya,
καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΓ,	ve bunların üzerine düşmüş olduğundan ΒΓ,
αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΓΒ, ΓΒΔ	ters ΑΓΒ ve ΓΒΔ açıları

ἴσαι ἀλλήλαις εἰσίν.	birbirine eşittir.
δύο δὴ τρίγωνά ἐστι	O halde iki üçgendir
τὰ ΑΒΓ, ΒΓΔ	ΑΒΓ ve ΒΓΔ,
τὰς δύο γωνίας τὰς ὑπὸ ΑΒΓ, ΒΓΑ	iki ΑΒΓ ve ΒΓΑ açıları
δυσὶ ταῖς ὑπὸ ΒΓΔ, ΓΒΔ	iki ΒΓΔ ve ΓΒΔ açılarına
ἴσας ἔχοντα	eşit olan,
ἑκατέραν ἑκατέρᾳ	her biri birine,
καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην	ve bir kenarı, bir kenarına eşit olan,
τὴν πρὸς ταῖς ἴσαις γωνίαις	eşit açıların yanında olan,
κοινὴν αὐτῶν τὴν ΒΓ·	onların ortak ΒΓ;
καὶ τὰς λοιπὰς ἄρα πλευρὰς	böylece kalan kenarları da
ταῖς λοιπαῖς ἴσας ἕξει	kalan kenarlarına eşit olacaklar,
ἑκατέραν ἑκατέρᾳ	her biri birine,
καὶ τὴν λοιπὴν γωνίαν	ve kalan açı
τῇ λοιπῇ γωνίᾳ·	kalan açıya;
ἴση ἄρα	böylece eşittir
ἡ μὲν ΑΒ πλευρὰ τῇ ΓΔ,	ΑΒ kenarı ΓΔ'ya,
ἡ δὲ ΑΓ τῇ ΒΔ,	ve ΑΓ, ΒΔ'ya,
καὶ ἔτι ἴση ἐστὶν	ve eşittir
ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΓΔΒ.	ΒΑΓ açısı, ΓΔΒ'ya.
καὶ ἐπεὶ ἴση ἐστὶν	Ve eşit olduğundan
ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΒΓΔ,	ΑΒΓ açısı, ΒΓΔ'ya,
ἡ δὲ ὑπὸ ΓΒΔ τῇ ὑπὸ ΑΓΒ,	ve ΓΒΔ, ΑΓΒ açısına,
ὅλη ἄρα ἡ ὑπὸ ΑΒΔ	böylece bütün ΑΒΔ,
ὅλῃ τῇ ὑπὸ ΑΓΔ ἐστιν ἴση.	bütün ΑΓΔ'ya eşittir.
ἐδείχθη δὲ καὶ	Ve gösterilmişti
ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΓΔΒ ἴση.	ΒΑΓ da, ΓΔΒ'ya eşit.

Τῶν ἄρα παραλληλογράμμων χωρίων	Böylece, paralelkenar alanların
αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι	hem karşıt kenarları hem de açıları,
ἴσαι ἀλλήλαις εἰσίν.	birbirine eşittir.

Λέγω δή, ὅτι	O halde diyorum ki
καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει.	köşegen de onları ikiye böler.

ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ,	Zira ΑΒ, ΓΔ'ya eşit olduğundan,
κοινὴ δὲ ἡ ΒΓ,	ve ΒΓ ortak olduğundan,
δύο δὴ αἱ ΑΒ, ΒΓ	o halde ΑΒ ve ΒΓ ikilisi

δυσὶ ταῖς ΓΔ, ΒΓ ἴσαι εἰσὶν
ἑκατέρα ἑκατέρᾳ·
καὶ γωνία ἡ ὑπὸ ΑΒΓ
γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση.
καὶ βάσις ἄρα ἡ ΑΓ
τῇ ΔΒ ἴση.
καὶ τὸ ΑΒΓ [ἄρα] τρίγωνον
τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν.

ΓΔ ve ΒΓ ikilisine eşittir,
her biri birine;
ve ΑΒΓ açısı,
ΒΓΔ açısına eşittir.
Böylece ΑΓ tabanı da,
ΔΒ'ya eşittir.
Böylece ΑΒΓ üçgeni de
ΒΓΔ üçgenine eşittir.

Ἡ ἄρα ΒΓ διάμετρος δίχα τέμνει
τὸ ΑΒΓΔ παραλληλόγραμμον·
ὅπερ ἔδει δεῖξαι.

Böylece ΒΓ köşegeni ikiye böler
ΑΒΓΔ paralelkenarını;
gösterilmesi gereken tam buydu.



35. Önerme

Τὰ παραλληλόγραμμα	Paralelkenarlar
τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα	aynı tabanda olan
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralellerde,
ἴσα ἀλλήλοις ἐστίν.	birbirine eşittir.
Ἔστω	Olsun
παραλληλόγραμμα τὰ ΑΒΓΔ, ΕΒΓΖ	paralelkenarlar ΑΒΓΔ ve ΕΒΓΔ,
ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΒΓ	aynı ΓΒ tabanında,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΖ, ΒΓ·	ve aynı ΑΖ ve ΒΓ paralellerinde.
λέγω, ὅτι	Diyorum ki
ἴσον ἐστὶ τὸ ΑΒΓΔ	ΑΒΓΔ eşittir
τῷ ΕΒΓΖ παραλληλογράμμῳ.	ΕΒΓΖ paralelkenarına.
Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι	Zira paralelkenar olduğundan
τὸ ΑΒΓΔ,	ΑΒΓΔ,
ἴση ἐστὶν ἡ ΑΔ τῇ ΒΓ.	ΑΔ, ΒΓ’ya eşittir.
διὰ τὰ αὐτὰ δὴ	Aynı sebeple o halde
καὶ ἡ ΕΖ τῇ ΒΓ ἐστιν ἴση·	ΕΖ da, ΒΓ’ya eşittir;
ὥστε καὶ ἡ ΑΔ τῇ ΕΖ ἐστιν ἴση·	öyleyse ΑΔ da ΕΖ’ya eşittir;
καὶ κοινὴ ἡ ΔΕ·	ve ΔΕ ortaktır;
ὅλη ἄρα ἡ ΑΕ	böylece bütün ΑΕ,
ὅλῃ τῇ ΔΖ ἐστιν ἴση.	bütün ΔΖ’ya eşittir.
ἔστι δὲ καὶ ἡ ΑΒ τῇ ΔΓ ἴση·	ΑΒ da ΔΓ’ya eşittir.
δύο δὴ αἱ ΕΑ, ΑΒ	O halde ΕΑ ve ΑΒ ikilisi
δύο ταῖς ΖΔ, ΔΓ ἴσαι εἰσὶν	ΖΔ ve ΔΓ ikilisine eşittir
ἑκατέρα ἑκατέρᾳ·	her biri birine;
καὶ γωνία ἡ ὑπὸ ΖΔΓ	ve ΖΔΓ açısı da
γωνίᾳ τῇ ὑπὸ ΕΑΒ ἐστιν ἴση	ΕΑΒ açısına eşittir,
ἡ ἐκτὸς τῇ ἐντός·	dış açı, iç açıya;
βάσις ἄρα ἡ ΕΒ	böylece ΕΒ tabanı
βάσει τῇ ΖΓ ἴση ἐστίν,	ΖΓ tabanına eşittir,
καὶ τὸ ΕΑΒ τρίγωνον	ve ΕΑΒ üçgeni
τῷ ΔΖΓ τριγώνῳ ἴσον ἔσται·	ΔΖΓ üçgenine eşit olacak;

κοινὸν ἀφῃρήσθω τὸ ΔΗΕ·	ortak ΔΗΕ ayrılmış olsun;
λοιπὸν ἄρα τὸ ΑΒΗΔ τραπέζιον	böylece kalan ΑΒΗΔ yamuğu[19]
λοιπῷ τῷ ΕΗΓΖ τραπεζίῳ ἐστὶν ἴσον·	kalan ΕΗΓΖ yamuğuna eşittir;
κοινὸν προσκείσθω	ortak olarak eklenmiş olsun
τὸ ΗΒΓ τρίγωνον·	ΗΒΓ üçgeni;
ὅλον ἄρα τὸ ΑΒΓΔ παραλληλόγραμμον	böylece bütün ΑΒΓΔ paralelkenarı,
ὅλῳ τῷ ΕΒΓΖ παραλληλογράμμῳ ἴσον ἐστίν.	bütün ΕΒΓΖ paralelkenarına eşittir.

Τὰ ἄρα παραλληλόγραμμα	Böylece paralelkenarlar;
τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα	aynı tabanda olan
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralellerde olanlar,
ἴσα ἀλλήλοις ἐστίν·	birbirine eşittir;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



[19] Yani *trapezion.*

36. Önerme

Τὰ παραλληλόγραμμα	Paralelkenarlar
τὰ ἐπὶ ἴσων βάσεων ὄντα	eşit tabanlarda olan
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralellerde,
ἴσα ἀλλήλοις ἐστίν.	birbirine eşittir.
Ἔστω	Olsun
παραλληλόγραμμα τὰ ΑΒΓΔ, ΕΖΗΘ	paralelkenarlar ΑΒΓΔ ve ΕΖΗΘ
ἐπὶ ἴσων βάσεων ὄντα τῶν ΒΓ, ΖΗ	eşit ΒΓ ve ΖΗ tabanlarında,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΘ, ΒΗ·	ve aynı ΑΘ ve ΒΗ paralellerinde.
λέγω, ὅτι	Diyorum ki
ἴσον ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον	ΑΒΓΔ paralelkenarı eşittir
τῷ ΕΖΗΘ.	ΕΖΗΘ'ya.
Ἐπεζεύχθωσαν γὰρ	Zira birleştirilmiş olsun
αἱ ΒΕ, ΓΘ.	ΒΕ ile ΓΘ.
καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΖΗ,	Ve eşit olduğundan ΒΓ ile ΖΗ,
ἀλλὰ ἡ ΖΗ τῇ ΕΘ ἐστιν ἴση,	ama ΖΗ, ΕΘ'ya eşit olduğundan,
καὶ ἡ ΒΓ ἄρα τῇ ΕΘ ἐστιν ἴση.	böylece ΒΓ da, ΕΘ'ya eşittir.
εἰσὶ δὲ καὶ παράλληλοι.	Ve paraleldirler de.
καὶ ἐπιζευγνύουσιν αὐτὰς αἱ ΕΒ, ΘΓ·	Ve ΕΒ ve ΘΓ onları birleştirir.
αἱ δὲ τὰς ἴσας τε καὶ παραλλήλους	Ve hem eşit hem paraleller
ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι	aynı tarafta birleştirenler
ἴσαι τε καὶ παράλληλοί εἰσι	hem eşit hem paraleldir.
[καὶ αἱ ΕΒ, ΘΓ ἄρα	[Ve böylece ΕΒ ve ΘΓ,
ἴσαι τέ εἰσι καὶ παράλληλοι].	hem eşit hem paraleldir.]
παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΕΒΓΘ.	Böylece ΕΒΓΘ bir paralelkenardır.
καί ἐστιν ἴσον τῷ ΑΒΓΔ·	Ve eşittir ΑΒΓΔ'ya.
βάσιν τε γὰρ αὐτῷ τὴν αὐτὴν ἔχει τὴν ΒΓ,	Zira onunla aynı ΒΓ tabanı vardır,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστὶν αὐτῷ ταῖς ΒΓ, ΑΘ.	ve onunla aynı ΒΓ ve ΑΘ paralellerindedir.

διὰ τὰ αὐτὰ δὴ	Aynı sebeple o halde,
καὶ τὸ ΕΖΗΘ	ΕΖΗΘ da,
τῷ αὐτῷ τῷ ΕΒΓΘ ἐστιν ἴσον·	aynı ΕΒΓΘ'ya eşittir;
ὥστε καὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον	öyleyse ΑΒΓΔ paralelkenarı da,
τῷ ΕΖΗΘ ἐστιν ἴσον.	ΕΖΗΘ'ya eşittir.
Τὰ ἄρα παραλληλόγραμμα	Böylece paralelkenarlar
τὰ ἐπὶ ἴσων βάσεων ὄντα	eşit tabanlarda olan
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralellerde,
ἴσα ἀλλήλοις ἐστίν·	birbirine eşittir;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



37. Önerme

Τὰ τρίγωνα	Üçgenler
τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα	aynı tabanda olan
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralellerde,
ἴσα ἀλλήλοις ἐστίν.	birbirine eşittir.
Ἔστω	Olsun
τρίγωνα τὰ ΑΒΓ, ΔΒΓ	üçgenler ΑΒΓ ve ΔΒΓ,
ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΒΓ	aynı ΒΓ tabanında
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralellerinde
ταῖς ΑΔ, ΒΓ·	[yani] ΑΔ ve ΒΓ.
λέγω, ὅτι	Diyorum ki
ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον	ΑΒΓ üçgeni, eşittir
τῷ ΔΒΓ τριγώνῳ.	ΔΒΓ üçgenine.
Ἐκβεβλήσθω	Uzatılmış olsun
ἡ ΑΔ ἐφ᾽ ἑκάτερα τὰ μέρη	ΑΔ doğrusu, her iki kenarda,
ἐπὶ τὰ Ε, Ζ,	Ε ve Ζ noktalarına,
καὶ διὰ μὲν τοῦ Β	ve Β'dan,
τῇ ΓΑ παράλληλος	ΓΑ'ya paralel
ἤχθω ἡ ΒΕ,	ΒΕ ilerletilmiş olsun,
διὰ δὲ τοῦ Γ	ve Γ'dan
τῇ ΒΔ παράλληλος	ΒΔ'ya paralel
ἤχθω ἡ ΓΖ.	ΓΖ ilerletilmiş olsun.
παραλληλόγραμμον ἄρα	Böylece paralelkenardır
ἐστὶν ἑκάτερον τῶν ΕΒΓΑ, ΔΒΓΖ·	birer ΕΒΓΑ ile ΔΒΓΖ;
καί εἰσιν ἴσα·	ve [bunlar] eşittir;
ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆς ΒΓ	zira hem aynı ΒΓ tabanında
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΕΖ·	hem aynı ΒΓ ve ΕΖ paralellerinde;
καί ἐστι τοῦ μὲν ΕΒΓΑ παραλληλογράμμου ἥμισυ	ve ΕΒΓΑ paralelkenarının yarısı,

τὸ ΑΒΓ τρίγωνον·	ΑΒΓ üçgenidir,
ἡ γὰρ ΑΒ διάμετρος αὐτὸ δίχα τέμνει·	zira ΑΒ köşegeni onu ikiye böler;
τοῦ δὲ ΔΒΓΖ παραλληλογράμμου	ve ΔΒΓΖ paralelkenarının
ἥμισυ τὸ ΔΒΓ τρίγωνον·	yarısı, ΔΒΓ üçgenidir,
ἡ γὰρ ΔΓ διάμετρος αὐτὸ δίχα τέμνει.	zira ΔΓ köşegeni onu ikiye böler.
[τὰ δὲ τῶν ἴσων ἡμίση	[Ve eşitlerin yarıları
ἴσα ἀλλήλοις ἐστίν].	birbirine eşittir.]
ἴσον ἄρα ἐστὶ	Böylece eşittir
τὸ ΑΒΓ τρίγωνον τῷ ΔΒΓ τριγώνῳ.	ΑΒΓ üçgeni ΔΒΓ üçgenine.
Τὰ ἄρα τρίγωνα	Böylece üçgenler
τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα	aynı tabanda olan
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralellerde,
ἴσα ἀλλήλοις ἐστίν·	birbirine eşittir;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



38. Önerme

Τὰ τρίγωνα	Üçgenler
τὰ ἐπὶ ἴσων βάσεων ὄντα	eşit tabanlarda olan
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralelerde,
ἴσα ἀλλήλοις ἐστίν.	birbirine eşittir.
Ἔστω	Olsun
τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ	üçgenler ΑΒΓ ve ΔΕΖ
ἐπὶ ἴσων βάσεων τῶν ΒΓ, ΕΖ	eşit ΒΓ ve ΕΖ tabanlarında
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΖ, ΑΔ·	ve aynı ΒΖ ve ΑΔ paralellerinde.
λέγω, ὅτι	Diyorum ki
ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον	ΑΒΓ üçgeni, eşittir
τῷ ΔΕΖ τριγώνῳ.	ΔΕΖ üçgenine.
Ἐκβεβλήσθω γὰρ ἡ ΑΔ	Zira ΑΔ uzatılmış olsun
ἐφ᾽ ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Η, Θ,	her iki tarafta Η ve Θ'ya,
καὶ διὰ μὲν τοῦ Β	ve Β'dan,
τῇ ΓΑ παράλληλος	ΓΑ'ya paralel,
ἤχθω ἡ ΒΗ,	ΒΗ ilerletilmiş olsun,
διὰ δὲ τοῦ Ζ	ve Ζ'dan,
τῇ ΔΕ παράλληλος	ΔΕ'a paralel,
ἤχθω ἡ ΖΘ.	ΖΘ ilerletilmiş olsun.
παραλληλόγραμμον ἄρα	Böylece paralelkenardır
ἐστὶν ἑκάτερον τῶν ΗΒΓΑ, ΔΕΖΘ·	birer ΗΒΓΑ ile ΔΕΖΘ;
καὶ ἴσον τὸ ΗΒΓΑ τῷ ΔΕΖΘ·	ve ΗΒΓΑ, ΔΕΖΘ'ya eşittir;
ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΓ, ΕΖ	zira hem eşit ΒΓ ve ΕΖ tabanlarında,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΖ, ΗΘ·	hem aynı ΒΖ ve ΗΘ paralellerinde;
καί ἐστι τοῦ μὲν ΗΒΓΑ παραλληλογράμμου ἥμισυ	ve ΗΒΓΑ paralelkenarının yarısı,

τὸ ΑΒΓ τρίγωνον.	ΑΒΓ üçgenidir.
ἡ γὰρ ΑΒ διάμετρος αὐτὸ δίχα τέμνει·	Zira AB köşegeni onu ikiye böler;
τοῦ δὲ ΔΕΖΘ παραλληλογράμμου ἥμισυ	ve ΔΕΖΘ paralelkenarının yarısı,
τὸ ΖΕΔ τρίγωνον·	ΖΕΔ üçgenidir;
ἡ γὰρ ΔΖ δίαμετρος αὐτὸ δίχα τέμνει	zira ΔΖ köşegeni onu ikiye böler.
[τὰ δὲ τῶν ἴσων ἡμίση	[Ve eşitlerin yarıları,
ἴσα ἀλλήλοις ἐστίν].	birbirine eşittir.]
ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον	Böylece ΑΒΓ üçgeni eşittir
τῷ ΔΕΖ τριγώνῳ.	ΔΕΖ üçgenine.
Τὰ ἄρα τρίγωνα	Böylece üçgenler
τὰ ἐπὶ ἴσων βάσεων ὄντα	eşit tabanlarda olan
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις	ve aynı paralelerde,
ἴσα ἀλλήλοις ἐστίν·	birbirine eşittir;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



39. Önerme

Τὰ ἴσα τρίγωνα	Eşit üçgenler
τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα	aynı tabanda olan
καὶ ἐπὶ τὰ αὐτὰ μέρη	ve aynı tarafında,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.	aynı paralellerdedir de.
Ἔστω	Olsun
ἴσα τρίγωνα τὰ ΑΒΓ, ΔΒΓ	eşit üçgenleri ΑΒΓ ve ΔΒΓ
ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη τῆς ΒΓ·	aynı ΒΓ tabanında ve aynı tarafında olan.
[λέγω, ὅτι	[Diyorum ki
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.]	aynı paralellerdedirler de.
Ἐπεζεύχθω [γὰρ] ἡ ΑΔ·	[Zira][20] ΑΔ birleştirilmiş olsun.
λέγω, ὅτι	Diyorum ki
παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΓ.	paraleldir ΑΔ, ΒΓ tabanına.
Εἰ γὰρ μή,	Zira eğer değil ise,
ἤχθω	ilerletilmiş olsun
διὰ τοῦ Α σημείου	Α noktasından
τῇ ΒΓ εὐθείᾳ παράλληλος	ΒΓ doğrusuna paralel
ἡ ΑΕ,	ΑΕ,
καὶ ἐπεζεύχθω ἡ ΕΓ.	ve ΕΓ birleştirilmiş olsun.
ἴσον ἄρα ἐστὶ	Eşittir böylece
τὸ ΑΒΓ τρίγωνον	ΑΒΓ üçgeni,
τῷ ΕΒΓ τριγώνῳ·	ΕΒΓ üçgenine;
ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ τῆς ΒΓ	zira hem onunla aynı ΒΓ tabanında,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις.	hem aynı paralellerdedir.
ἀλλὰ τὸ ΑΒΓ τῷ ΔΒΓ ἐστιν ἴσον·	Ama ΑΒΓ, ΔΒΓ'ya eşittir.
καὶ τὸ ΔΒΓ ἄρα τῷ ΕΒΓ ἴσον ἐστὶ	Ve böylece ΔΒΓ, ΕΒΓ'ya eşittir,
τὸ μεῖζον τῷ ἐλάσσονι·	büyük küçüğe;

[20] Heath'in notuna [5, I.337] bakınız.

ὅπερ ἐστὶν ἀδύνατον·	ki bu imkânsızdır.
οὐκ ἄρα παράλληλός ἐστιν	Böylece paralel değildir
ἡ ΑΕ τῇ ΒΓ.	ΑΕ, ΒΓ'ya.
ὁμοίως δὴ δείξομεν,	Benzer şekilde o halde göstereceğiz
ὅτι	ki
οὐδ' ἄλλη τις πλὴν τῆς ΑΔ·	ΑΔ dışındakiler de [paralel] değildir;
ἡ ΑΔ ἄρα τῇ ΒΓ ἐστι παράλληλος.	böylece ΑΔ, ΒΓ'ya paraleldir.

Τὰ ἄρα ἴσα τρίγωνα	Böylece eşit üçgenler
τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα	aynı tabanda olan
καὶ ἐπὶ τὰ αὐτὰ μέρη	ve onun aynı tarafında,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν·	aynı paralellerdedirler de;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



40. Önerme

(Bu önerme, Öklid'in orijinal metne bir ilâvedir. Heath'in [5, I.338] notuna bakınız.)

Τὰ ἴσα τρίγωνα	Eşit üçgenler,
τὰ ἐπὶ ἴσων βάσεων ὄντα	eşit tabanlarda
καὶ ἐπὶ τὰ αὐτὰ μέρη	ve aynı tarafta olan,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.	aynı paralelerdedirler de.
Ἔστω	Olsun
ἴσα τρίγωνα τὰ ΑΒΓ, ΓΔΕ	eşit üçgenler ΑΒΓ ve ΓΔΕ,
ἐπὶ ἴσων βάσεων τῶν ΒΓ, ΓΕ	eşit ΒΓ ve ΓΕ tabanlarında,
καὶ ἐπὶ τὰ αὐτὰ μέρη.	ve aynı tarafta olan.
λέγω, ὅτι	Diyorum ki
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.	aynı paralellerdedirler de.
Ἐπεζεύχθω γὰρ ἡ ΑΔ·	Zira ΑΔ birleştirilmiş olsun.
λέγω, ὅτι	Diyorum ki
παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΕ.	paraleldir ΑΔ, ΒΕ doğrusuna.
Εἰ γὰρ μή,	Zira eğer değil ise,
ἤχθω	ilerletilmiş olsun
διὰ τοῦ Α	Α noktasından,
τῇ ΒΕ παράλληλος	ΒΕ'a paralel,
ἡ ΑΖ,	ΑΖ,
καὶ ἐπεζεύχθω ἡ ΖΕ.	ve ΖΕ birleştirilmiş olsun.
ἴσον ἄρα ἐστὶ	Böylece eşittir
τὸ ΑΒΓ τρίγωνον	ΑΒΓ üçgeni
τῷ ΖΓΕ τριγώνῳ·	ΖΓΕ üçgenine;
ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΓ, ΓΕ	zira hem eşit ΒΓ ve ΓΕ tabanlarında,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΕ, ΑΖ.	hem aynı ΒΕ ve ΑΖ paralellerindedir.
ἀλλὰ τὸ ΑΒΓ τρίγωνον	Ama ΑΒΓ üçgeni,
ἴσον ἐστὶ τῷ ΔΓΕ [τρίγωνῳ]·	ΔΓΕ üçgenine eşittir;

καὶ τὸ ΔΓΕ ἄρα [τρίγωνον]	ve böylece ΔΓΕ üçgenini
ἴσον ἐστὶ τῷ ΖΓΕ τριγώνῳ	ΖΓΕ üçgenine eşittir,
τὸ μεῖζον τῷ ἐλάσσονι·	büyük küçüğe;
ὅπερ ἐστὶν ἀδύνατον·	ki bu imkânsızdır.
οὐκ ἄρα παράλληλος	Böylece paralel değildir
ἡ ΑΖ τῇ ΒΕ.	ΑΖ, ΒΕ'a.
ὁμοίως δὴ δείξομεν,	Benzer şekilde o halde göstereceğiz
ὅτι	ki
οὐδ᾽ ἄλλη τις πλὴν τῆς ΑΔ·	ΑΔ dışındakiler de [paralel] değildir;
ἡ ΑΔ ἄρα τῇ ΒΕ ἐστι παράλληλος.	böylece ΑΔ, ΒΕ'a paraleldir.

Τὰ ἄρα ἴσα τρίγωνα	Böylece eşit üçgenler
τὰ ἐπὶ ἴσων βάσεων ὄντα	eşit tabanlarda olan
καὶ ἐπὶ τὰ αὐτὰ μέρη	ve aynı tarafta,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν·	aynı paralelerdedir de;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



41. Önerme

Ἐὰν παραλληλόγραμμον	Eğer bir paralelkenar
τριγώνῳ	bir üçgenle
βάσιν τε ἔχῃ τὴν αὐτὴν	hem aynı tabana sahipse,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ,	hem aynı paralelerdeyse,
διπλάσιόν ἐστί	iki katıdır
τὸ παραλληλόγραμμον τοῦ τριγώνου.	paralelkenar, üçgenin.
Παραλληλόγραμμον γὰρ τὸ ΑΒΓΔ	Zira ΑΒΓΔ paralelkenarı,
τριγώνῳ τῷ ΕΒΓ	ΕΒΓ üçgeniyle
βάσιν τε ἐχέτω τὴν αὐτὴν τὴν ΒΓ	hem aynı ΒΓ tabanına sahip olsun,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἔστω ταῖς ΒΓ, ΑΕ·	hem aynı ΒΓ ve ΑΕ paralellerinde olsun.
λέγω, ὅτι	Diyorum ki
διπλάσιόν ἐστι	iki katıdır
τὸ ΑΒΓΔ παραλληλόγραμμον	ΑΒΓΔ paralelkenarı,
τοῦ ΒΕΓ τριγώνου.	ΒΕΓ üçgeninin.
Ἐπεζεύχθω γὰρ ἡ ΑΓ.	Zira ΑΓ birleştirilmiş olsun.
ἴσον δή ἐστι τὸ ΑΒΓ τρίγωνον	Eşittir ΑΒΓ üçgeni
τῷ ἘΒΓ τριγώνῳ·	ΕΒΓ üçgenine;
ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ τῆς ΒΓ	zira onunla hem aynı ΒΓ tabanına sahiptir,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΑΕ.	hem aynı ΒΓ ve ΑΕ paralelerindedir.
ἀλλὰ τὸ ἈΒΓΔ παραλληλόγραμμον	Ama ΑΒΓΔ paralelkenarı,
διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου·	ΑΒΓ üçgeninin iki katıdır;
ἡ γὰρ ἈΓ διάμετρος αὐτὸ δίχα τέμνει·	zira ΑΓ köşegeni onu ikiye böler;
ὥστε τὸ ΑΒΓΔ παραλληλόγραμμον	öyleyse ΑΒΓΔ paralelkenarı,
καὶ τοῦ ΕΒΓ τριγώνου ἐστὶ διπλάσιον.	ΕΒΓ üçgeninin de iki katıdır.
Ἐὰν ἄρα παραλληλόγραμμον	Böylece, eğer bir paralelkenar
τριγώνῳ	bir üçgenle
βάσιν τε ἔχῃ τὴν αὐτὴν	hem aynı tabana sahipse,

καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ,	hem aynı paralelerdeyse,
διπλάσιόν ἐστί	iki katıdır
τὸ παραλληλόγραμμον τοῦ τριγώνου·	paralelkenar, üçgenin;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



42. Önerme

Τῷ δοθέντι τριγώνῳ ἴσον	Verilmiş bir üçgene eşit
παραλληλόγραμμον συστήσασθαι	bir paralelkenarı inşa etmek
ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.	verilmiş bir düzkenar açıda.
Ἔστω	Olsun
τὸ μὲν δοθὲν τρίγωνον τὸ ΑΒΓ,	verilmiş üçgen ΑΒΓ,
ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ Δ·	ve verilmiş düzkenar açı Δ.
δεῖ δὴ	O halde gereklidir
τῷ ΑΒΓ τριγώνῳ ἴσον	ΑΒΓ üçgenine eşit
παραλληλόγραμμον συστήσασθαι	bir paralelkenar inşa etmek
ἐν τῇ Δ γωνίᾳ εὐθυγράμμῳ.	Δ düzkenar açısında.
Τετμήσθω ἡ ΒΓ δίχα κατὰ τὸ Ε,	ΒΓ, Ε'da ikiye bölmüş olsun,
καὶ ἐπεζεύχθω ἡ ΑΕ,	ve ΑΕ birleştirilmiş olsun,
καὶ συνεστάτω	ve inşa edilmiş olsun
πρὸς τῇ ΕΓ εὐθείᾳ	ΕΓ doğrusunda,
καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ε	ve üzerindeki Ε noktasında,
τῇ Δ γωνίᾳ ἴση	Δ açısına eşit,
ἡ ὑπὸ ΓΕΖ,	ΓΕΖ,
καὶ διὰ μὲν τοῦ Α τῇ ΕΓ παράλληλος	ayrıca, Α'dan, ΕΓ'ya paralel,
ἤχθω ἡ ΑΗ,	ΑΗ ilerletilmiş olsun,
διὰ δὲ τοῦ Γ τῇ ΕΖ παράλληλος	ve Γ'dan, ΕΖ'ya paralel,
ἤχθω ἡ ΓΗ·	ΓΗ ilerletilmiş olsun;
παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΕΓΗ.	böylece ΖΕΓΗ bir paralelkenardır.
καὶ ἐπεὶ ἴση ἐστὶν	Ve eşit olduğundan
ἡ ΒΕ τῇ ΕΓ,	ΒΕ, ΕΓ'ya,
ἴσον ἐστὶ καὶ τὸ ΑΒΕ τρίγωνον	ΑΒΕ üçgeni de eşittir
τῷ ΑΕΓ τριγώνῳ·	ΑΕΓ üçgenine;
ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΕ, ΕΓ	zira hem eşit ΒΕ ve ΕΓ tabanlarında,
καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΑΗ·	hem aynı ΒΓ ve ΑΗ paralelerindedir;

διπλάσιον ἄρα ἐστὶ	iki katıdır böylece
τὸ ΑΒΓ τρίγωνον τοῦ ΑΕΓ τριγώνου.	ΑΒΓ üçgeni, ΑΕΓ üçgeninin,
ἔστι δὲ καὶ τὸ ΖΕΓΗ παραλληλόγραμμον	ayrıca ΖΕΓΗ paralelkenarı
διπλάσιον τοῦ ΑΕΓ τριγώνου·	ΑΕΓ üçgeninin iki katıdır;
βάσιν τε γὰρ αὐτῷ τὴν αὐτὴν ἔχει	zira hem onunla aynı tabana sahiptir
καὶ ἐν ταῖς αὐταῖς ἐστιν αὐτῷ παραλλήλοις·	hem onunla aynı paralellerdedir;
ἴσον ἄρα ἐστὶ	böylece eşittir
τὸ ΖΕΓΗ παραλληλόγραμμον	ΖΕΓΗ paralelkenarı
τῷ ΑΒΓ τριγώνῳ.	ΑΒΓ üçgenine.
καὶ ἔχει τὴν ὑπὸ ΓΕΖ γωνίαν	Ve onun ΓΕΖ açısı
ἴσην τῇ δοθείσῃ τῇ Δ.	verilmiş Δ'ya eşittir.
Τῷ ἄρα δοθέντι τριγώνῳ τῷ ΑΒΓ	Böylece, verilmiş ΑΒΓ üçgenine
ἴσον	eşit
παραλληλόγραμμον συνέσταται τὸ ΖΕΓΗ	bir ΖΕΓΗ paralelkenar inşa edilmişti
	ΓΕΖ aşısında,
ἐν γωνίᾳ τῇ ὑπὸ ΓΕΖ,	Δ aşısına eşit olan;
ἥτις ἐστὶν ἴση τῇ Δ·	yapılması gereken tam buydu.
ὅπερ ἔδει ποιῆσαι.	



43. Önerme

Παντὸς παραλληλογράμμου	Herhangi bir paralelkenarın
τῶν περὶ τὴν διάμετρον	köşegeni etrafındaki
παραλληλογράμμων	paralelkenarların
τὰ παραπληρώματα	tümleyenleri,
ἴσα ἀλλήλοις ἐστίν.	birbirine eşittir.
Ἔστω	Olsun
παραλληλόγραμμον τὸ ΑΒΓΔ,	paralelkenar ΑΒΓΔ,
διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ,	ve onun köşegeni ΑΓ,
περὶ δὲ τὴν ΑΓ	ve ΑΓ etrafında
παραλληλόγραμμα μὲν ἔστω	paralelkenarlar,
τὰ ΕΘ, ΖΗ,	ΕΘ ve ΖΗ olsun,[21]
τὰ δὲ λεγόμενα παραπληρώματα	ve sözde tümleyenleri,
τὰ ΒΚ, ΚΔ·	ΒΚ ile ΚΔ.
λέγω, ὅτι	Diyorum ki
ἴσον ἐστὶ τὸ ΒΚ παραπλήρωμα	ΒΚ tümleyeni eşittir
τῷ ΚΔ παραπληρώματι.	ΚΔ tümleyenine.
Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι	Zira bir paralelkenar olduğundan
τὸ ΑΒΓΔ,	ΑΒΓΔ,
διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ,	ve ΑΓ, onun köşegeni [olduğundan],
ἴσον ἐστὶ	eşittir
τὸ ΑΒΓ τρίγωνον τῷ ΑΓΔ τριγώνῳ.	ΑΒΓ üçgeni, ΑΓΔ üçgenine.
πάλιν, ἐπεὶ παραλληλόγραμμόν ἐστι	Yine, bir paralelkenar olduğundan
τὸ ΕΘ,	ΕΘ,
διάμετρος δὲ αὐτοῦ ἐστιν ἡ ΑΚ,	ve ΑΚ, onun köşegeni [olduğundan],
ἴσον ἐστὶ	eşittir
τὸ ΑΕΚ τρίγωνον τῷ ΑΘΚ τριγώνῳ.	ΑΕΚ üçgeni, ΑΘΚ üçgenine.
διὰ τὰ αὐτὰ δὴ καὶ	O halde aynı sebeple
τὸ ΚΖΓ τρίγωνον τῷ ΚΗΓ ἐστιν ἴσον.	ΚΖΓ üçgeni de, ΚΗΓ'ya eşittir.
ἐπεὶ οὖν τὸ μὲν ΑΕΚ τρίγωνον	Dolayısıyla ΑΕΚ üçgeni,

[21] Yunancada ΕΘ paralelkenarı, τὸ ΕΘ παραλλελόγραμμον veya kısaca τὸ ΕΘ iken, ΕΘ çizgisi, ἡ ΕΘ γραμμή veya ἡ ΕΘ olur. Fark, harfi tarifle gösterilir.

τῷ ΑΘΚ τριγώνῳ ἐστὶν ἴσον,	ΑΘΚ üçgenine eşit olduğundan,
τὸ δὲ ΚΖΓ τῷ ΚΗΓ,	ve ΚΖΓ, ΚΗΓ'ya,
τὸ ΑΕΚ τρίγωνον μετὰ τοῦ ΚΗΓ	ΑΕΚ üçgeni, ΚΗΓ ile,
ἴσον ἐστὶ	eşittir
τῷ ΑΘΚ τριγώνῳ μετὰ τοῦ ΚΖΓ·	ΑΘΚ üçgenine, ΚΖΓ ile;
ἔστι δὲ καὶ ὅλον τὸ ΑΒΓ τρίγωνον	ve bütün ΑΒΓ üçgeni,
ὅλῳ τῷ ΑΔΓ ἴσον·	bütün ΑΔΓ'ya eşittir;
λοιπὸν ἄρα τὸ ΒΚ παραπλήρωμα	böylece kalan ΒΚ tümleyeni,
λοιπῷ τῷ ΚΔ παραπληρώματί	kalan ΚΔ tümleyenine
ἐστιν ἴσον.	eşittir.
Παντὸς ἄρα παραλληλογράμμου χωρίου	Böylece, herhangi bir paralelkenar alanın
τῶν περὶ τὴν διάμετρον	köşegeni etrafındaki
παραλληλογράμμων	paralelkenarların
τὰ παραπληρώματα	tümleyenleri,
ἴσα ἀλλήλοις ἐστίν·	birbirine eşittir;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



44. Önerme

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν
τῷ δοθέντι τριγώνῳ ἴσον
παραλληλόγραμμον παραβαλεῖν
ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Verilmiş bir doğru boyunca
verilmiş bir üçgene eşit,
bir paralelkenar uygulamak
verilmiş bir düz kenar açıda.



Ἔστω
ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ AB,
τὸ δὲ δοθὲν τρίγωνον τὸ Γ,
ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος
ἡ Δ·

Olsun
verilmiş doğru AB,
ve verilmiş üçgen Γ,
ve verilmiş düzkenar açı
Δ.

δεῖ δὴ
παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν AB
τῷ δοθέντι τριγώνῳ τῷ Γ ἴσον
παραλληλόγραμμον παραβαλεῖν
ἐν ἴσῃ τῇ Δ γωνίᾳ.

O halde gereklidir
verilmiş AB doğrusu boyunca
verilmiş Γ üçgenine eşit
bir paralelkenar
verilmiş Δ açısında uygulamak.

Συνεστάτω
τῷ Γ τριγώνῳ ἴσον
παραλληλόγραμμον τὸ BEZH
ἐν γωνίᾳ τῇ ὑπὸ EBH,
ἥ ἐστιν ἴση τῇ Δ·
καὶ κείσθω
ὥστε ἐπ᾽ εὐθείας εἶναι τὴν BE τῇ AB,
καὶ διήχθω ἡ ZH ἐπὶ τὸ Θ,
καὶ διὰ τοῦ A

İnşa edilmiş olsun
Γ üçgenine eşit olan
BEZH paralelkenarı,
EBH açısında,
Δ'ya eşit olan;
ve oturtulmuş olsun
öyle ki BE, AB ile bir doğruda olsun,
ve ZH, Θ'a ilerletilmiş olsun
ve A'dan,

ὁποτέρᾳ τῶν ΒΗ, ΕΖ παράλληλος	BH ve EZ'dan birine paralel olan,
ἤχθω ἡ ΑΘ,	ΑΘ ilerletilmiş olsun,
καὶ ἐπεζεύχθω ἡ ΘΒ.	ve ΘΒ birleştirilmiş olsun.
καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΑΘ, ΕΖ	Ve ΑΘ ile EZ paralellerinin üzerine
εὐθεῖα ἐνέπεσεν ἡ ΘΖ,	ΘΖ doğrusu düştüğünden,
αἱ ἄρα ὑπὸ ΑΘΖ, ΘΖΕ γωνίαι	ΑΘΖ ve ΘΖΕ açıları
δυσὶν ὀρθαῖς εἰσιν ἴσαι.	iki dik açıya eşittir.
αἱ ἄρα ὑπὸ ΒΘΗ, ΗΖΕ	Böylece ΒΘΗ ve ΗΖΕ
δύο ὀρθῶν ἐλάσσονές εἰσιν·	iki dik açıdan küçüktür.
αἱ δὲ ἀπὸ ἐλασσόνων ἢ δύο ὀρθῶν	Ve iki dik açıdan küçük olan,
εἰς ἄπειρον ἐκβαλλόμεναι	sonsuza uzatılan,
συμπίπτουσιν·	çarpışır.
αἱ ΘΒ, ΖΕ ἄρα ἐκβαλλόμεναι	Böylece uzatılan ΘΒ ve ΖΕ,
συμπεσοῦνται.	çarpışır.
ἐκβεβλήσθωσαν	Uzatılmış olsun
καὶ συμπιπτέτωσαν κατὰ τὸ Κ,	ve Κ noktasında çarpışmış olsun,
καὶ διὰ τοῦ Κ σημείου	ve Κ noktasından,
ὁποτέρᾳ τῶν ΕΑ, ΖΘ παράλληλος	ΕΑ veya ΖΘ doğrusuna paralel olan,
ἤχθω ἡ ΚΛ,	ΚΛ ilerletilmiş olsun,
καὶ ἐκβεβλήσθωσαν αἱ ΘΑ, ΗΒ	ve ΘΑ ve ΗΒ uzatılmış olsun
ἐπὶ τὰ Λ, Μ σημεῖα.	Λ ve Μ'ye.
παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΘΛΚΖ,	Böylece ΘΛΚΖ bir paralelkenardır,
διάμετρος δὲ αὐτοῦ ἡ ΘΚ,	ve ΘΚ onun köşegenidir,
περὶ δὲ τὴν ΘΚ	ve ΘΚ etrafındadır
παραλληλόγραμμα μὲν τὰ ΑΗ, ΜΕ,	ΑΗ ve ΜΕ paralelkenarları,
τὰ δὲ λεγόμενα παραπληρώματα	ve bunların sözde tümleyenleri,
τὰ ΛΒ, ΒΖ·	ΛΒ ile ΒΖ'dır;
ἴσον ἄρα ἐστὶ τὸ ΛΒ τῷ ΒΖ.	Böylece ΛΒ, ΒΖ'ya eşittir.
ἀλλὰ τὸ ΒΖ τῷ Γ τριγώνῳ ἐστὶν ἴσον·	Ama ΒΖ, Γ üçgenine eşittir.
καὶ τὸ ΛΒ ἄρα τῷ Γ ἐστιν ἴσον.	Böylece ΛΒ da Γ'ya eşittir.
καὶ ἐπεὶ ἴση ἐστὶν	Ve eşit olduğundan
ἡ ὑπὸ ΗΒΕ γωνία τῇ ὑπὸ ΑΒΜ,	ΗΒΕ açısı, ΑΒΜ'ye,
ἀλλὰ ἡ ὑπὸ ΗΒΕ τῇ Δ ἐστιν ἴση,	ama ΗΒΕ, Δ'ya eşit olduğundan,
καὶ ἡ ὑπὸ ΑΒΜ ἄρα τῇ Δ γωνίᾳ	böylece ΑΒΜ de Δ açısına

ἐστὶν ἴση.	eşittir.
Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν ΑΒ	Böylece, verilmiş ΑΒ doğrusu boyunca,
τῷ δοθέντι τριγώνῳ τῷ Γ ἴσον	verilmiş bir Γ üçgenine eşit olan,
παραλληλόγραμμον παραβέβληται τὸ ΛΒ	ΛΒ paralelkenarı uygulanmış oldu,
ἐν γωνίᾳ τῇ ὑπὸ ΑΒΜ,	ΑΒΜ açısında,
ἥ ἐστιν ἴση τῇ Δ·	Δ'ya eşit olan;
ὅπερ ἔδει ποιῆσαι.	yapılması gereken tam buydu.



45. Önerme

Τῷ δοθέντι εὐθυγράμμῳ ἴσον
παραλληλόγραμμον συστήσασθαι
ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Verilmiş bir düzkenar [figüre] eşit
bir paralelkenar inşa etmek,
verilmiş düzkenar açıda.



Ἔστω
τὸ μὲν δοθὲν εὐθύγραμμον τὸ ΑΒΓΔ,
ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ Ε·

Olsun
verilmiş düzkenar [figür] ΑΒΓΔ,
ve verilmiş düzkenar açı Ε.

δεῖ δὴ
τῷ ΑΒΓΔ εὐθυγράμμῳ ἴσον
παραλληλόγραμμον συστήσασθαι
ἐν τῇ δοθείσῃ γωνίᾳ τῇ Ε.

O halde gereklidir
ΑΒΓΔ düzkenarına eşit
bir paralelkenar inşa etmek,
verilmiş Ε açısında.

Ἐπεζεύχθω ἡ ΔΒ,
καὶ συνεστάτω
τῷ ΑΒΔ τριγώνῳ ἴσον
παραλληλόγραμμον τὸ ΖΘ
ἐν τῇ ὑπὸ ΘΚΖ γωνίᾳ,
ἥ ἐστιν ἴση τῇ Ε·
καὶ παραβεβλήσθω
παρὰ τὴν ΗΘ εὐθεῖαν
τῷ ΔΒΓ τριγώνῳ ἴσον
παραλληλόγραμμον τὸ ΗΜ
ἐν τῇ ὑπὸ ΗΘΜ γωνίᾳ,
ἥ ἐστιν ἴση τῇ Ε.

ΔΒ birleştirilmiş olsun,
ve inşa edilmiş olsun,
ΑΒΔ üçgenine eşit,
bir ΖΘ paralelkenarı,
ΘΚΖ açısında,
Ε'a eşit olan;
ve uygulanmış olsun
ΗΘ doğrusu boyunca,
ΔΒΓ üçgenine eşit,
bir ΗΜ paralelkenarı,
ΗΘΜ açısında,
Ε'a eşit olan.

καὶ ἐπεὶ ἡ Ε γωνία	Ve E açısı
ἑκατέρᾳ τῶν ὑπὸ ΘΚΖ, ΗΘΜ	ΘΚΖ ve ΗΘΜ'nün her birine
ἐστιν ἴση,	eşit olduğundan,
καὶ ἡ ὑπὸ ΘΚΖ ἄρα	böylece ΘΚΖ da,
τῇ ὑπὸ ΗΘΜ ἐστιν ἴση.	ΗΘΜ'ye eşittir.
κοινὴ προσκείσθω ἡ ὑπὸ ΚΘΗ·	Ortak olarak ΚΘΗ eklenmiş olsun;
αἱ ἄρα ὑπὸ ΖΚΘ, ΚΘΗ	böylece ΖΚΘ ve ΚΘΗ,
ταῖς ὑπὸ ΚΘΗ, ΗΘΜ ἴσαι εἰσίν.	ΚΘΗ ve ΗΘΜ'ye eşittir.
ἀλλ᾽ αἱ ὑπὸ ΖΚΘ, ΚΘΗ	Ama ΖΚΘ ve ΚΘΗ
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν·	iki dik açıya eşittir;
καὶ αἱ ὑπὸ ΚΘΗ, ΗΘΜ ἄρα	böylece ΚΘΗ ve ΗΘΜ de,
δύο ὀρθαῖς ἴσαι εἰσίν.	iki dik açıya eşittir.
πρὸς δή τινι εὐθεῖᾳ τῇ ΗΘ	O halde bir ΗΘ doğrusuna,
καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Θ	ve aynı Θ noktasında,
δύο εὐθεῖαι αἱ ΚΘ, ΘΜ	iki ΚΘ ve ΘΜ doğruları,
μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι	aynı tarafta oturmayan,
τὰς ἐφεξῆς γωνίας	bitişik açıları
δύο ὀρθαῖς ἴσας ποιοῦσιν·	iki dik açıya eşit yapar.
ἐπ᾽ εὐθείας ἄρα ἐστὶν ἡ ΚΘ τῇ ΘΜ·	Böylece ΚΘ, ΘΜ ile bir doğrudadır;
καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΚΜ, ΖΗ	ve ΚΜ ve ΖΗ paralelleri üzerine
εὐθεῖα ἐνέπεσεν ἡ ΘΗ,	ΘΗ doğrusu düştüğünden,
αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΜΘΗ, ΘΗΖ	ters ΜΘΗ ve ΘΗΖ açıları
ἴσαι ἀλλήλαις εἰσίν.	birbirine eşittir.
κοινὴ προσκείσθω ἡ ὑπὸ ΘΗΛ·	Ortak olarak ΘΗΛ eklenmiş olsun;
αἱ ἄρα ὑπὸ ΜΘΗ, ΘΗΛ	böylece ΜΘΗ ve ΘΗΛ,
ταῖς ὑπὸ ΘΗΖ, ΘΗΛ ἴσαι εἰσιν.	ΘΗΖ ve ΘΗΛ'ya eşittir.
ἀλλ᾽ αἱ ὑπὸ ΜΘΗ, ΘΗΛ	Ama ΜΘΗ ve ΘΗΛ
δύο ὀρθαῖς ἴσαι εἰσίν·	iki dik açıya eşittir;
καὶ αἱ ὑπὸ ΘΗΖ, ΘΗΛ ἄρα	böylece ΘΗΖ ve ΘΗΛ da
δύο ὀρθαῖς ἴσαι εἰσίν·	iki dik açıya eşittir;
ἐπ᾽ εὐθείας ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΗΛ.	böylece ΖΗ, ΗΛ ile bir doğrudadır.
καὶ ἐπεὶ ἡ ΖΚ τῇ ΘΗ	Ve ΖΚ, ΘΗ'ya
ἴση τε καὶ παράλληλός ἐστιν,	hem eşit hem paralel olduğundan,
ἀλλὰ καὶ ἡ ΘΗ τῇ ΜΛ,	ama ΘΗ da, ΜΛ'ya,
καὶ ἡ ΚΖ ἄρα τῇ ΜΛ	böylece ΚΖ da ΜΛ'ya
ἴση τε καὶ παράλληλός ἐστιν·	hem eşit hem paraleldir;
καὶ ἐπιζευγνύουσιν αὐτὰς εὐθεῖαι αἱ ΚΜ, ΖΛ·	ve ΚΜ ile ΖΛ doğruları, onları birleştirir;

καὶ αἱ ΚΜ, ΖΛ ἄρα	böylece ΚΜ ve ΖΛ da
ἴσαι τε καὶ παράλληλοί εἰσιν·	hem eşit hem paraleldirler;
παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΚΖΛΜ.	böylece ΚΖΛΜ bir paralelkenardır.
καὶ ἐπεὶ ἴσον ἐστὶ	Ve eşit olduğundan
τὸ μὲν ΑΒΔ τρίγωνον	ΑΒΔ üçgeni
τῷ ΖΘ παραλληλογράμμῳ,	ΖΘ paralelkenarına,
τὸ δὲ ΔΒΓ τῷ ΗΜ,	ve ΔΒΓ, ΗΜ'ye,
ὅλον ἄρα τὸ ΑΒΓΔ εὐθύγραμμον	böylece, bütün ΑΒΓΔ düzkenar [figürü],
ὅλῳ τῷ ΚΖΛΜ παραλληλογράμμῳ	bütün ΚΖΛΜ paralelkenarına
ἐστὶν ἴσον.	eşittir.
Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ ΑΒΓΔ ἴσον	Böylece, verilmiş düzkenar ΑΒΓΔ figürüne eşit,
παραλληλόγραμμον συνέσταται τὸ ΚΖΛΜ	bir ΚΖΛΜ paralelkenarı inşa edilmiş oldu,
ἐν γωνίᾳ τῇ ὑπὸ ΖΚΜ,	ΖΚΜ açısında,
ἥ ἐστιν ἴση τῇ δοθείσῃ τῇ Ε·	eşit olan verilmiş Ε açısına;
ὅπερ ἔδει ποιῆσαι.	yapılması gereken tam buydu.



46. Önerme

Ἀπὸ τῆς δοθείσης εὐθείας	Verilmiş bir doğruda
τετράγωνον ἀναγράψαι.	bir kare çizmak.
Ἔστω	Olsun
ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ·	verilmiş doğru ΑΒ.
δεῖ δὴ	O halde gereklidir
ἀπὸ τῆς ΑΒ εὐθείας	ΑΒ doğrusunda
τετράγωνον ἀναγράψαι.	bir kare çizmek.
Ἤχθω	İlerletilmiş olsun
τῇ ΑΒ εὐθείᾳ	ΑΒ doğrusunda,
ἀπὸ τοῦ πρὸς αὐτῇ σημείου τοῦ Α	onundaki Α noktasında,
πρὸς ὀρθὰς	dik açıda,
ἡ ΑΓ,	ΑΓ,
καὶ κείσθω	ve oturmuş olsun,
τῇ ΑΒ ἴση	ΑΒ’ya eşit,
ἡ ΑΔ·	ΑΔ;
καὶ διὰ μὲν τοῦ Δ σημείου	ve Δ noktasından,
τῇ ΑΒ παράλληλος	ΑΒ’ya paralel,
